ρακαλοῦσι μεμνῆσθαι τάχα δὴ τοιούτους ἐσομένους, καίπερ ἄχαρις καὶ ἄωρος ἐπίκωμος ἥκων ὅμως ἔχει τινὰ καιρόν, εἰ
B μὴ πρὸς τὸ πίνειν καὶ ἡδυπαθεῖν ἀλλὰ πρὸς φιλίαν καὶ ἀγάπησιν ἀλλήλων προτρέπεται, καὶ παρακαλεῖ τὸν βίον μὴ τῷ χρόνῳ βραχὺν ὄντα πράγμασι κακοῖς μακρὸν ποιεῖν.'

**3.** Ἐν τοιούτοις λόγοις γενόμενοι κατὰ τὴν ὁδόν ἀφικόμεθα πρὸς τὴν οἰκίαν, καὶ λούσασθαι μὲν ὁ Θαλῆς οὐκ ἠθέλησεν, ἀληλιμμένοι γὰρ ἦμεν· ἐπιὼν δὲ τούς τε δρόμους ἐθεᾶτο καὶ τὰς παλαίστρας καὶ τὸ ἄλσος τὸ παρὰ τὴν θάλασσαν ἱκανῶς διακεκοσμημένον, ὑπ' οὐδενὸς ἐκπληττόμενος τῶν τοιούτων, ἀλλ' ὅπως μὴ καταφρονεῖν δοκοίη μηδ' ὑπερορᾶν τοῦ
C Περιάνδρου τῆς φιλοτιμίας. τῶν δ' ἄλλων τὸν ἀλειψάμενον ἢ λουσάμενον οἱ θεράποντες εἰσῆγον εἰς τὸν ἀνδρῶνα διὰ τῆς στοᾶς. ὁ δ' Ἀνάχαρσις ἐν τῇ στοᾷ καθῆστο, καὶ παιδίσκη προειστήκει τὴν κόμην ταῖς χερσὶ διακρίνουσα. ταύτην ⟨ὁ⟩ Θαλῆς ἐλευθεριώτατά πως αὐτῷ προσδραμοῦσαν ἐφίλησε καὶ γελάσας 'οὕτως' ἔφη 'ποίει καλὸν τὸν ξένον, ὅπως ἡμερώτατος ὢν μὴ φοβερὸς ᾖ τὴν ὄψιν ἡμῖν μηδ' ἄγριος.' ἐμοῦ δ' ἐρομένου περὶ τῆς παιδὸς ἥτις εἴη, 'τὴν σοφήν' ἔφη 'καὶ περιβόητον ἀγνοεῖς Εὔμητιν; οὕτω γὰρ ταύτην ὁ πατὴρ αὐτός, οἱ δὲ πολλοὶ πατρόθεν ὀνομάζουσι Κλεοβουλίνην.' καὶ ὁ Νει-
D λόξενος εἶπεν 'ἦ που τὴν περὶ τὰ αἰνίγματα δεινότητα καὶ σοφίαν' ἔφη 'τῆς κόρης ἐπαινεῖς· καὶ γὰρ εἰς Αἴγυπτον ἔνια τῶν προβαλλομένων ὑπ' αὐτῆς διῖκται.' 'οὐκ ἔγωγ'' εἶπεν ὁ Θαλῆς· 'τούτοις γὰρ ὥσπερ ἀστραγάλοις, ὅταν τύχῃ, παίζουσα χρῆται καὶ διαβάλλεται πρὸς τοὺς ἐντυχόντας. ἀλλὰ καὶ φρόνημα θαυμαστὸν καὶ νοῦς ἔνεστι πολιτικὸς καὶ φιλάνθρωπον ἦθος, καὶ τὸν πατέρα τοῖς πολίταις πρᾳότερον ἄρχοντα παρέχει καὶ δημοτικώτερον.' 'εἶεν' ὁ Νειλόξενος ἔφη, 'καὶ φαίνεται βλέποντι πρὸς τὴν λιτότητα καί ἀφέλειαν αὐτῆς· Ἀνάχαρ-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/310 UNIVERSITÄT LEIPZIG